# TABLES.

| | | |
|---|---|---|
| 1 If. vii. 14. | Matt. i. 23. | If. vii. 14. |
| הנה העלמה הרה וילדת בן וקראת שמו עמנואל | Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. *V. Annot.* | Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. |
| 2 Micah v. 2. | ii. 6. | Micah v. 2. |
| ואתה בית-לחם אפרתה צעיר להיות באלפי יהודה ממך לי יצא להיות מושל בישראל | Καὶ σὺ Βηθλὲεμ, γὴ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαὸν μου τὸν Ἰσραήλ. *V. Annot.* | Καὶ σὺ Βηθλὲεμ οἶκος Ἐφραθὰ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσραὴλ. |
| 3 Hof. xi. 1. | ii. 15. | Hof. xi. 1. |
| וממצרים קראתי לבני | Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱὸν μου. | Ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. |
| 4 Jer. xxxi. 15. | ii. 18. | Jer. xxxi. 15. |
| קול ברמה נשמע נהי בכי תמרורים רחל מבכה על-בניה מאנה להנחם על-בניה כי איננו | Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς, καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. *Vid. Annot.* | Φωνὴ ἐν Ραμᾷ ἠκούσθη θρήνου, καὶ κλαυθμοῦ, καὶ ὀδυρμοῦ· Ῥαχὴλ ἀποκλαιομένη οὐκ ἤθελε παύσασθαι ἐπὶ τοῖς υἱοῖς αὐτῆς, ὅτι οὐκ εἰσίν. |
| 5 If. xl. 3. &c. | iii. 3. Mar. i. 3. Luk. iii. 4. &c. | If. xl. 3. &c. |
| קול קורא במדבר פנו דרך יהוה ישרו בערבה מסלה לאלהינו: כל-גיא ינשא וכל-הר וגבעה ישפלו והיה העקב למישור והרכסים לבקעה: ונגלה כבוד יהוה וראו כל-בשר יחדו כי פי יהוה דבר | Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. Καὶ ὄψεται πᾶσα σάρξ τὸ σωτήριον τοῦ Θεοῦ. *Vid. Annot.* | Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία.[a] Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σάρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε. |

[a] ὁδοὺς λείας. Alex.